24. Ἐν δὲ τῇ τελευταίᾳ μάχῃ τρωθεὶς καὶ κομισθεὶς ἐπὶ τὴν σκηνὴν ἐκάλει Δαΐφαντον, εἶτα μετ᾽ ἐκεῖνον Ἰολαΐδαν· τεθνάναι δὲ τοὺς ἄνδρας πυθόμενος ἐκέλευε διαλύεσθαι πρὸς τοὺς πολεμίους, ὡς οὐκ ὄντος αὐτοῖς στρατηγοῦ. καὶ τῷ λόγῳ τὸ ἔργον ἐμαρτύρησεν, ὡς εἰδότος ἄριστα τοὺς πολίτας.

## ΠΕΛΟΠΙΔΑΣ

1. Πελοπίδας ὁ συστράτηγος Ἐπαμεινώνδᾳ, τῶν φίλων αὐτὸν ἀμελεῖν λεγόντων πράγματος ἀναγκαίου, χρημάτων συναγωγῆς, ʻἀναγκαῖα τὰ χρήματα νὴ Δία᾽ εἶπε ʻτούτῳ᾽ Νικομήδῃ δείξας, χωλὸν καὶ ἀνάπηρον ἄνθρωπον.

2. Τῆς δὲ γυναικός, ἐπὶ μάχην ἐξιόντος αὐτοῦ, δεομένης σῴζειν ἑαυτόν, ἄλλοις ἔφη δεῖν τοῦτο παραινεῖν, D ἄρχοντι δὲ καὶ στρατηγῷ σῴζειν τοὺς πολίτας.

3. Εἰπόντος δέ τινος τῶν στρατιωτῶν ʻἐμπεπτώκαμεν εἰς τοὺς πολεμίους,ʼ ʻτί μᾶλλον᾽ εἶπεν ʻἢ εἰς ἡμᾶς ἐκεῖνοι;᾽

4. Ἐπεὶ δὲ παρασπονδηθεὶς ὑπ᾽ Ἀλεξάνδρου τοῦ Φεραίων τυράννου καὶ δεθεὶς κακῶς αὐτὸν ἔλεγεν, εἰπόντος ἐκείνου ʻσπεύδεις ἀποθανεῖν;᾽ ʻπάνυ μὲν οὖν᾽